# ΚΕΦ. ΟΓΔΟΟΝ.

## Ὅπως ἐξ ὧν πάρεστιν ἰδεῖν Φαινομένων, ἔστιν ἅ τῶν εἴτε κατὰ Φύσιν εἴτε κατὰ τὰς ἀνθρωπίνας πράξεις ἀποβησομένων προεικάζειν πιθανῶς ἐστί.

§. τνϛʹ.

Τῶν ἐσομένων, ὅσα μὲν ἐπιδήλως τεταγμένας ἔχει τὰς ἐκβάσεις, καὶ θεσμοῖς εἰκούσας ἀπαραβάτοις, ταῦτα δὴ μὴ κομιδῇ ἄληπτα τυγχάνειν τοῖς θηρωμένοις, κἂν αὐτὰ μαρτυρήσειε τῶν ἀστέρων, τά καὶ ἐπὶ λεπτοῦ προαναφωνούμενα πάθη. Ὧν δὲ τὰ αἴτια ἀόριστά ἐστιν, οἵας τὰς ἀπὸ βουλῆς ἐλευθέρας ἠρτημένας τῶν ἀνθρώπων ἴσμεν προαιρέσεις, καὶ πράξεις· ἢ γοῦν ἡμῖν ἀόριστα, οἷα τὰ πολλὰ τῶν ἐν τῇ Φύσει συμβαινόντων, ταῦτά γε εἰκὸς τὴν ἡμᾶς καὶ διαφεύγειν, ὡς ἐν βυθοῖς ἀδηλίας λανθάνοντα. Οὐμὴν ἀλλ᾽ οὐδ᾽ ἐν τούτοις ἀπραγμονεῖν ἠνέσχοντο, (οὕτως ἀκρατῶς ἔχει καὶ λίχνως περὶ τὴν τοῦ εἰδέναι ὄρεξιν ἄνθρωπος.) τὸ δέ τοι νέφος τὸ συγκαλύπτον αὐτὰ διασχόντες, καὶ τούτων οὐδὲν ἥκιστα ἀπετόλμησαν, δἰ εἰκότων τινῶν καὶ σημείων, καθάπερ δἰ ἀμυδροῦ φωτὸς, διαφαίνειν δοκοῦσαν (καὶ νηδία οὐκ ἀνεπιτυχῶς ἀεί.) τὴν ἀπόβασιν προεικάσαντες (1). Ἐν τούτοις οὖν, καὶ περὶ ταῦτα τῆς Κριτικῆς τὸ Εἶδος τῆς τῶν ἐσομένων ἐξεικαστικῆς. (§. τιʹ.). Ἥτις πῇ μὲν περὶ τὰ τῆς Φύσεως ἔργα, πῇ δὲ περὶ τὰς ἀνθρωπίνας τῶν πράξεων ἐνασχολουμένη, ἐκ τούτων μάλιστα καλεῖσθαι καὶ Πρακτικὴ (§. τθʹ.) ἐξενίκησεν.

§. τνζʹ. Ἡ τοίνυν πρόγνωσις τῶν ἐν τῇ Φύσει μελλόντων συμβαίνειν, ἤρτηται μὲν ἐκ τῆς ἐπιμελοῦς παρατηρήσεως τῶν Φαι-

(1) „Ὀψίας γενομένης λέγετε, εὐ„δία· πυῤῥάζει γὰρ ὁ οὐρανός. Καὶ „πρωΐ, σήμερον χειμών. Πυῤῥάζει γὰρ στυγνάζων ὁ οὐρανός· Ὑποκριταὶ, „τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε „διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν „οὐ δύνασθε; (Ματθ, ιϛʹ.) .... Ὅταν „ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ „δυσμῶν, εὐθέως λέγετε, ὄμβρος ἔρ„χεται, καὶ γίνεται οὕτω. Καὶ ὅταν „Νότον πνέοντα, λέγετε, ὅτι καύσων „ἔσται· καὶ γίνεται. Ὑποκριταὶ τὸ „πρόσωπον τῆς γῆς, καὶ τοῦ οὐρανοῦ οἴ„δατε δοκιμάζειν· τὸν δὲ καιρὸν τοῦτον „πῶς οὐ δοκιμάζετε; (Λουκ. ιβʹ.).



φαινομένων, οἷς παρεπηδεῖν συχνὰ σεσημείωται τὸ ζητούμενον, ἐρήρεισται δὲ τῇ κατὰ τὸ ἀνάλογον κρίσει, καθ᾽ ἣν εἰκὸς ἡμᾶς ἐκ τῶν ὁμοίων τὰ ὅμοια προσδοκᾶν. Κρατοῦσι γὰρ ἐν τοῖς οὕτως ὅροι οἱ τεταγμένοι, δἰ οὓς δυνάμεις αἱ αὐταὶ, ἀποτελεσμάτων παραίτιοι καθίστανται ἀεὶ τῶν αὐτῶν. Καίγε τὰ αὐτὰ αἰτιατὰ πρὸς τὰς αὐτὰς (εἰ μήτι κωλύει) ἢ πρὸς τὰς ἴσα δυναμένας αἰτίας ἐθέλει ἀνάγεσθαι. Ἡ γὰρ Φύσις ἐν οὐδενὶ περιττή. Οὐδέν τε μάτην ἐργαζομένη, ἀεὶ τὴν ἁπλουστέραν εἴωθε βαδίζειν, εὐθείας ὡς ἐπίπαν ἑαυτῆς τὰς κελεύθους περαίνουσα. Ταῦτ᾽ οὖν καὶ οἱ Φιλοσοφοῦντες τῇ θεωρίᾳ κατ᾽ ἴχνια βαίνειν χαίρουσι τὰ τῆς Φύσεως, ἐξ ὧν ἂν πολλάκις συνθεωρῆται Φθάσεων γινομένων, ἐπὶ τοίαις, ἢ τοίαις μεταβολαῖς, καὶ τὸ κατὰ τὰς παρούσας εἰκὸς ἀποκαραδοκεῖν προδιαγορεύοντες. Ὅθεν οἱ μὲν Φυσιολογοῦντες διά τε τῶν βαρομέτρων καὶ τῶν παραπλησίων ἄλλων ὀργάνων (1), ἀμφιλαφεῖς ποιούμενοι τὰς παρατηρήσεις, τὰς ἐσομένας ἐν τῷ περιέχοντι τροπὰς ἡμῖν προσημαίνουσι, καὶ ἐξαλλοιώσεις. Καὶ ἰατρῶν παῖδες ὁμοίως, τὸ πολύτροπον τῆς τῶν ἀέρων καταστάσεως, οἷα ἐφεξῆς ἀποτελεῖν φιλεῖ, διὰ πυκνῆς συνιδόντες τῆς πείρας, τὸ μετὰ ταῦτα ὑγιεινὸν, ἢ νοσῶδες

(1) Ἔστι δὲ ταῦτα τὸ Ὑγρόμετρον, δἰ οὗ, τὰς ἐν τῇ ἀτμοσφαίρᾳ, κατὰ τὸ νοτερὸν ἢ αὐχμῶδες, ἐξαλλοιώσεις παρασημαινόμεθα. Τὸ Μανόμετρον, δἰ οὗ, τὰς κατὰ πύκνωσιν, ἢ μάνωσιν· τὸ Θερμόμετρον, δἰ οὗ τὴν θερμότητα, καὶ τὸ ψύχος· τὸ Βαρόμετρον, δἰ οὗ, τὸ βάρος, καὶ τὸ, ὅ φασιν, ἐλατήριον. Ἐκ γὰρ δὴ τῶν κατὰ ταῦτα γινομένων παρατηρήσεων, ἀνέμων τε διαφορὰς πνεῖν μελλόντων, ἢ νηνεμίας, ἢ ὄμβρων καταῤῥαγησομένων, ἢ αὐχμῶν ἐσομένων, εὐδίας τε, καὶ ζάλης, καὶ τῶν παραπλησίων τὰς γενέσεις προτεκμαιρόμεθα. Οἷον κατὰ τὰς ὑπὸ Ὀλμάννου ἐπὶ ἐννέα συνεχῶς ἐνιαυτοῖς γενομένας παρατηρήσεις, ὧν ὁ Εὐκλ. μέμνηται Οὐϊγκλέρος Λογ. §. 1056. ἡ μὲν τοῦ ἐν τῷ Βαρομέτρῳ ὑδραργύρου κάθοδος συνέφη τὸν Οὐρανὸν ἐσόμενον προαγγέλλει, καὶ ὑετοῦ γένεσιν, ἢ ἀνέμου. Ἡ δ᾽ ἄνοδος τοὐναντίον αἰθρίαν. Οὐμὴν ἀμεταθέτως τοῦτο, οὐδ᾽ ἐν ἀναλόγοις ἀεὶ τοῖς τοῦ ὑδραργύρου βαθμοῖς. Ὤφθησαν γάρ ποτε, καὶ ἐν ἀνεπαισθήτοις τούτου ταῖς μεταβολαῖς, μέγισται αἱ ἐνσκήψασαι τῇ ἀτμοσφαίρᾳ ἐξαλλοιώσεις, καὶ ἀνάπαλιν τοὐναντίον. Τὸ δ᾽ αἰφνίδιον τῆς καθόδου ἐξαπιναίαν καὶ ἡ ἄνοδος ἐνίοτε διεδέξατο. Ὅτε καὶ ἐν μεγάλοις Γῆς διαστήμασι συμπεσόντα τὸν κλύδωνα, παρατετηρηκέναι Οὐϊγκλέρος φησὶν, ὥστε καὶ ἐν Ἀμερικῇ κατὰ τὸ αὐτὸ τοῦ χρόνου, τοῖς παρ᾽ ἡμῖν γενέσθαι τὰ ὅμοια. Ἐφ᾽ οἷς καὶ εὐλόγως ἐπιστήσας προσέθετο, μὴ ἄρ᾽ ἔχοι τινα ἐντεῦθεν ὄνησιν καρπώσασθαι δύναιντο, οἱ τοὺς θαλαττίους, καὶ μακρὰς ἐμπορίας ποιούμενοι;